σκεπτέον, ἀλλὰ καὶ πότερον εὐσεβέστερον τὸν βασιλέα
καὶ τοὺς συνάρχοντας τὰ ὑπὲρ τοῦ μέλλοντος ἄρξειν
ἱερὰ θῦσαι, ὡς καὶ πρότερον ἤδη γεγένηται, ἢ καὶ τοῦ-
τον, ὃν οὐδὲ καθαρὸν εἶναι τὰς χεῖρας οἱ εἰδότες μεμαρ-
τυρήκασι, καὶ πότερον ὑμεῖς ὠμόσατε εἰς τὴν ἀρχὴν
ἀδοκίμαστον καταστήσειν, ἢ δοκιμάσαντες τὸν ἄξιον τῆς
ἀρχῆς | στεφανώσειν. ταῦτα γὰρ σκοπεῖσθε· κἀκεῖνο 9
⟨δ'⟩ ἐνθυμεῖσθε, ὅτι ὁ θεὶς τὸν περὶ τῶν δοκιμασιῶν
νόμον οὐχ ἥκιστα [περὶ] τῶν ἐν ὀλιγαρχίᾳ ἀρξάντων
ἕνεκα ἔθηκεν, ἡγούμενος δεινὸν εἶναι, εἰ δι' οὓς ἡ δημο-
κρατία κατελύετο, οὗτοι ἐν τῇ αὐτῇ πολιτείᾳ πάλιν ἄρ-
ξουσι, καὶ κύριοι γενήσονται τῶν νόμων καὶ τῆς πόλεως,
ἣν πρότερον παραλαβόντες οὕτως αἰσχρῶς καὶ δεινῶς
ἐλωβήσαντο. ὥστ' οὐκ ἄξιον τῆς δοκιμασίας ὀλιγώρως
ἔχειν, οὐδὲ μικρὸν ἡγουμένους τὸ πρᾶγμα μὴ φροντίζειν
αὐτῆς, ἀλλὰ φυλάττειν· ὡς ἐν τῷ ἕκαστον δικαίως ἄρχειν
ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σῴζεται.
⟨καὶ⟩ εἰ μὲν βουλεύσων νυνὶ ἐδοκιμάζετο καὶ ὡς ἱπ- 10
πευκότος αὐτοῦ ἐπὶ τῶν τριάκοντα τοὔνομα ἐν ταῖς
σανίσιν ἐνεγέγραπτο, καὶ ἄνευ κατηγόρου ἂν αὐτὸν
ἀπεδοκιμάζετε· νῦν δέ, ὅτε [μὴ μόνον ἱππευκὼς μηδὲ
βεβουλευκώς, ἀλλὰ] καὶ εἰς τὸ πλῆθος ἐξημαρτηκὼς φαί-
νεται, οὐκ ἂν ἄτοπον ποιήσαιτε, εἰ μὴ τὴν αὐτὴν γνώ-
μην ἔχοντες περὶ αὐτοῦ φανεῖσθε; καὶ μὲν δὴ βουλεύειν 11
γε δοκιμασθεὶς πεντακοσιοστὸς ὢν μετὰ τῶν ἄλλων
ἐνιαυτὸν ἂν μόνον ἐβούλευσεν, ὥστε καὶ εἴ τι ἐν τούτῳ
τῷ χρόνῳ ἐξαμαρτάνειν ἐβούλετο, ῥᾳδίως ἂν ὑπὸ τῶν
ἄλλων ἐκωλύετο. ταύτης δὲ τῆς ἀρχῆς ἀξιούμενος αὐτὸς
καθ' αὑτὸν ἄρξει, καὶ μετὰ τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς
τὸν ἅπαντα χρόνον τῶν μεγίστων κύριος γενήσεται·
ὥστε ὑμῖν καθήκειν περὶ ταύτης τῆς ἀρχῆς ἀκριβεστέραν 12